15. *Σαλούστιος· οὗτος εἰς Ἀλεξάνδρειαν ἧκεν Ἀθήνηθεν σὺν Ἰσιδώρῳ τῷ φιλοσόφῳ* et Suidas v. *Σαλούστιος*, II. 2. 656. 13.

16. Μαρῖνος· οὗτος τὴν Πρόκλου διατριβὴν παραδεξάμενος καὶ Ἰσιδώρου τοῦ φιλοσόφου τῶν Ἀριστοτέλους λόγων καθηγησάμενος ἐλθόντι τὸ δεύτερον Ἀθήναζε τοῦ κοινοῦ διδασκάλου τετελευτηκότος ὑπέδειξεν αὐτῷ συγγεγραμμένον ὑπόμνημα πρὸς ἑαυτοῦ στίχων παμπόλλων εἰς τὸν Πλάτωνος Φίληβον ἐντυχεῖν τε καὶ ἐπικρῖναι κελεύσας, εἰ ἐξοιστέον εἴη τὸ βιβλίον. ὁ δὲ ἀναγνοὺς ἐπιμελῶς οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων, οὐ μέντοι ἄμουσον ἀφῆκε φωνὴν οὐδεμίαν, τοσοῦτον δὲ ἔφη μόνον, ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου ὑπομνήματα εἰς τὸν διάλογον. συνιεὶς δ' ἐκεῖνος παραυτίκα διέφθειρε πυρὶ τὸ βιβλίον· ἤδη δὲ καὶ πρότερον δι' ἐπιστολῆς ἐκοινώσατο πρὸς αὐτὸν τὴν ἑαυτοῦ δόξαν ⟨περὶ⟩ τῶν εἰς Παρμενίδην ὑποθέσεων τε καὶ ἐξηγήσεων, τά τε ἐπιχειρήματα συντάξας ἔπεμψεν, οἷς ἐπείσθη μ εἶναι τὸν διάλογον περὶ θεῶν ὁ Μαρῖνος, ἀλλὰ περὶ εἰδῶν· (ἐφ' ᾧ καὶ ὑπομνήματα κατεβάλετ

Μαρῖνος δὲ ὁ Πρόκλου διάδοχος, ὁ καὶ Ἰσιδώρο (μετὰ καὶ ἄλλων) τῶν Ἀριστοτέλους λόγων δ δάσκαλος

ὑπόμνημα πολύστιχον εἰς Φίληβον συντάξας τ Πλάτωνος, οὗτος τῷ Ἰσιδώρῳ ἐντυχεῖν τε τ ὑπομνήματι κελεύει καὶ ἐπικρῖναι, εἰ ἐξοιστέο ὁ δὲ ἀναγνοὺς οὐδὲν ἀπ κρύψατο τῶν αὐτῷ δοκούντων, οὐ μέντ οὐδὲ ἄμουσον ἀφῆκε φωνήν, τοσοῦτον μόνον ἔφη, ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλο Ὁ δὲ Μαρῖνος συνεὶς πυρὶ διέφθειρε τὸ β βλίον.
Phot. p. 338. a. 19 B, 42 W.

14a. 7. μεῖζον Bekker; μείζω codd. — 13. ὁμολογῶν; Bernh. frustra conicit: μυθολογῶν. 8. Πίνδαρον, c. Ol I. 83.

16a. 6. ὑπέδειξεν cum A scripsi; ἐπέδειξεν Bernh. — περί inseruit Kuesterus; om. codd.; Bern potius in voce δόξαν laborat. — ἐφ' ᾧ — ὑποθέσεις ut parenthesin uncis inclusi.

τοῦτον ἐξηγούμενα τὸν τρόπον τὰς Παρμενίδου διαλεκτικὰς ὑποθέσεις). ὁ δὲ καὶ πρὸς ταύτην ἀντιγράφει τὴν ἐπιστολὴν μυρίαις ὅσαις ἀποδείξεσι καταβαλόμενος ἀληθεστάτην εἶναι τὴν θειοτέραν ἐξήγησιν τοῦ διαλόγου· ὥστε εἰ μὴ ἔφθη τὸ βιβλίον ἐκδεδομένον, τάχα ἂν καὶ τοῦτο διέφθειρεν. ἴσως δὲ αὐτὸν διεκώλυσε καὶ ἡ ὄψις τοῦ ἐνυπνίου, ὅτι θεάσασθαί ποτε ἔλεγεν ὁ Πρόκλος ὡς ὑπομνημάτων εἰς Παρμενίδην αὐτοῦ Μαρίνου ἐσομένων.

Suid. v. *Μαρῖνος*, II. 1. 698. 12.

…essor creatur. 17. *τοιαῦτα πολλὰ λέγων τε καὶ ἐπᾴδων ἔπεισε τὸν Ἰσίδωρον ὁ Μαρῖνος δέξασθαι τὸ ψήφισμα τῆς διαδοχῆς· καὶ ἐψηφίσθη διάδοχος ἐπ' ἀξιώματι μᾶλλον ἢ πράγματι τῆς Πλατωνικῆς ἐξηγήσεως.*

Phot. p. 349. a. 35 B, 226 W.

… mortuo …is cedit. 18. *ἐλάνθανε δὲ ἑαυτὸν ἀνίατα πράγματα καὶ πόρρω μοχθηρίας προβεβηκότα διορθώσασθαι ἐπιχειρῶν. ἤνυτε δὲ οὐδὲν ἐπὶ πλέον.*

ἦρι δὲ ἀρχομένῳ τοῦ Μαρίνου τὸ σῶμα ἀπολιπόντος ἐβουλεύετο τὰς Ἀθήνας ἀπολιπεῖν ὁ Ἰσίδωρος.

Παρῄνει δὲ Συριανὸν καὶ Ἡγίαν ὁ Ἰσίδωρος, ὡς χρεὼν εἴη, φιλοσοφίαν ὑπορρέουσαν ἀνασώσασθαι.

Phot. p. 349. b. 6 B, 227 W; cfr. Phot. p. 349. a. 21, Phot. 345. b. 3: *οὐκ εἴα δὲ αὐτὸν ἐρωτᾶν ὁ Ἰσίδωρος ἀσθενείᾳ σώματος ἐνοχλούμενον, εὐλαβείᾳ τοῦ ὀχλώδους* et Phot. 346. a. 19.

…micis …ndrinis. …rpocra. 19. — — *Αἰγύπτιος ἐπὶ Ζήνωνος βασιλέως. ζητῶν δὲ ὁ Νικομήδης τὸν Ἁρποκρᾶν ἦν καὶ μὴ εὑρίσκων αὐτόν. ὁ δὲ Ἰσίδωρος ὁ φιλόσοφος τοῦτο μαθὼν πέμπει διὰ γραμμάτων δηλούντων τοὺς ἐπιόντας. ἑάλω δὲ ὁ γραμματοφόρος καὶ ὡμολόγει τὸν πέμψαντα· καὶ τὸν Ὡραπόλλωνα καὶ τὸν Ἡραΐσκον αἱροῦσι καὶ νεύροις ἀνακρεμάσαντες ἀπὸ τῆς χειρὸς ἑκάτερον ἀπῄτουν τὸν Ἁρποκρᾶν καὶ Ἰσίδωρον.*

Suid. v. *Ὡραπόλλων*, II. 1. 1267. 5.

Zenone imperatore cum Ammonius et Erythrius praefectus praetorio Byzantii inter se pugnarent (cfr. Suid. v. *Ἡραΐσκος*, I. 2. 875. 4), Harpocras, Aegyptius, Ammonii familiaris, quem Nicomedes audiverat scire ea, quae ad Ammonium spectarent, comprehendebatur (cfr. Suid. v. *Ἁρποκρᾶς*, I. 1. 753. 5). Cetera ex loco laudato sponte apparent.

…apione. 20. *Σαραπίων. τοῦτον ἐποιήσατο φίλον ὁ Ἰσίδωρος, τὸν λαθόντα πάντας ἀνθρώπους ἐπὶ εὐσεβείᾳ τε καὶ ὅλῃ βίου φιλοσοφίᾳ, πλὴν αὐτοῦ τοῦ Ἰσιδώρου.*

— — — — — — — — — — — —

διὸ μόνον σχεδὸν τὸν Ὀρφέα ἐκέκτητο καὶ ἀνεγίγνωσκεν, ἐρωτῶν ἐφ' ἑκάστοις ἀεὶ τοῖς παραπίπτουσι ζητήμασι τὸν Ἰσίδωρον, ἄκραν ὡς εἰπεῖν ἐπιστήμην ἐν θεολογίᾳ προβεβλημένον· ὃν μόνον οἰκεῖον ἐγνώριζεν ὄντα καὶ προσεδέχετο.

— — — — — — — — — — — —

ὃς κληρονόμῳ τῷ Ἰσιδώρῳ ἐχρήσατο, μηδένα πρὸς γένους ἔχων μηδὲ ἄξιον ἄλλον ὑπολαμβάνων εἶναι τῆς ἑαυτοῦ οὐσίας, δυοῖν λέγω ἢ τριῶν βιβλίων.

Suid. v. *Σαραπίων*, II. 2. 675. 12; 676. 19; 678. 1.

…oro et …o. 21. *Ὁ δὲ Παμπρέπιος κατὰ τὴν Αἴγυπτον παραγεγονὼς Ἰσιδώρῳ παρέσχεν ἐκ τῶν λόγων αἴσθησιν, ὡς οὐχ ὑγιαίνοι πρὸς Ἴλλουν.*

Phot. p 347. a. 1 B, 172 W.

---

19. 3. *δηλούντων* codd.; Bernhard: *δηλοῦντα*; fortasse *δηλῶν* sive *δηλοῦν ἐθέλων*.

22. Ὁ δὲ Ἰσίδωρος τό τε κιβώτιον καὶ τὰ ἄλλα σκευάρια διέθηκεν ἕτοιμα εἶναι καὶ πρόχειρα, ὡς ἀποπέμψων εἰς τὸ ἐμπόριον.

Phot. p. 347. a. 21 B, 181 W. Huc fortasse etiam ea spectant, quae sequuntur.

23. Τοῦ Κυλληνίου βλακεύοντος καὶ τὰ πράγματα ἀναβάλλοντος οὐδὲν ἥνυτεν ὁ Ἰσίδωρος.

Phot. p. 349. a. 4 B, 209 W. cfr. frg. 18.

2. De facie.

24. ἦν δὲ ἰδεῖν ὁ Ἰσίδωρος ἔμφρων καὶ πρεσβυτικός, ἔτι δ' ἐμβριθὴς καὶ βεβαιότροπος. τὸ μὲν πρόσωπον ὀλίγου τετράγωνον ἦν Ἑρμοῦ λογίου τύπος ἱερός. οἱ δὲ ὀφθαλμοὶ πῶς μὲν ἂν φράσαιμι τὴν ἐν αὐτοῖς ἱδρυμένην χαρίεσσαν ἀληθῶς Ἀφροδίτην, πῶς δ'⟨ἂν⟩ ἀπαγγείλαιμι τὴν ἐνοῦσαν αὐτοῖς Ἀθηνᾶν σοφωτάτην; οὐκ ἂν δὲ φθάνοιμι λέγων αὐτοὺς ἀπὸ τῶν ἐναντίων εἰς τὸ αὐτὸ συνηρμοσμένους ἓν εἶδος ἀμήχανον, ἑστῶτας ἅμα βεβαίους καὶ ἐπίτροχα κινουμένους, π⟨επηγότας⟩ ὡς φάναι τὸ πᾶν ἐν τῷ αὐτῷ καὶ περὶ τὸ αὐτὸ δινουμένους, ἅμα μὲν τὸ σεμνόν, ἅμα δὲ τὸ χάριεν ἐπιφαίνοντας, βαθυτέρους τοὺς αὐτοὺς καὶ ἁπλουστέρους εἶναι βουλομένους. ἁπλῶς δ' εἰπεῖν ἀγάλματα ἦσαν ὀφθαλμοὶ ἐκεῖνοι τῆς ψυχῆς ἀκριβῆ, οὐ μόνης γε, ἀλλὰ καὶ τῆς ἐνοικούσης αὐτῇ θείας ἀπορροῆς.

Phot. p. 336. a. 4 B, 16 W.

25. Καὶ ὁ Πρόκλος ἐθαύμαζε τὸ τοῦ Ἰσιδώρου πρόσωπον καὶ εἶδος, ὡς ἔνθεον ἦν καὶ πλῆρες εἴσω φιλοσόφου ζωῆς· οἵ τε ὀφθαλμοὶ τὸ τῆς διανοίας εὔτροχον ἀποσαφοῦντες καὶ ἅμα αὐτοῖς ἐπιθέουσα σεμνότης ἡδεῖα καὶ ἄπλαστος αἰδὼς ἐπέστρεφεν ἱκανῶς πρὸς αὐτὸν τὸν φιλόσοφον καὶ ἤδη γνώριμον ἐποίει αὐτῷ τὸν νεανίσκον.

Καὶ ὁ Πρόκλος — φιλόσοφον (v. 1—4) Phot. p. 341. b. 28 B, 80 W; ἐπεὶ καὶ ὁ — ζωῆς (v. 1—2) Phot. p. 350. b. 19 B, 249 W; Ὁ δὲ Πρόκλος — ζωῆς Suid. v. εἶδος, I. 2. 753. 3; τὸ τοῦ Ἰσιδώρου — ζωῆς (v. 1 — 2) Suid. v. εἴσω, I. 2. 791. 10; οἵ τε ὀφθαλμοὶ — ἀποσαφοῦντες (v. 2) Suid. v. εὔτροχον, I. 2. 658. 17; v. ἀποσαφοῦντες, I. 1. 646. 1; καὶ ἅμα — νεανίσκον (v. 2—4) Suid. v. ἄπλαστος, I. 1. 583. 13.

3. De moribus.

26. εἰ δέ που θυμούμενος ἑωρᾶτο καὶ ἀγανακτῶν, ἀλλὰ τοῦ λογισμοῦ ἡγουμένου καὶ ὁ θυμὸς δὴ κατόπιν εἵπετο. οὐδὲ γὰρ οἷός τε ἦν γίγνεσθαι πρᾶος οὐδὲ ἄθυμος ἐν τῷ ἐλέγχῳ τῶν ἀνθρωπίνων πονηρευμάτων. ὧν γὰρ ἑτοιμότατος εἰς εὐεργεσίαν, ἔτι καὶ τούτου προχειρότερος ἦν εἰς ἐπιτίμησιν τῆς πονηρίας. διὸ καὶ θαμὰ δὴ πολλοῖς προσέκρουεν, οὐκ ἀνεχόμενος αὐτῶν τὴν κακίαν ὑποκορίζεσθαι, οὐδὲ μελετῶν ἀντὶ τῆς ἀληθινῆς φιλίας τὴν πολυάρατον κολακείαν. ⟨οὐ μέντοι⟩ οὔτε φιλαιτίως οὔτε ἐθελέχθρως πρὸς οὐδένα διέκειτο. τοιαῦτα ὁ

---

24. 3. ⟨ἂν⟩ ego; om. codd. — 4. αὐτοῖς ego; αὐταῖς codd. — 6. κινουμένους, π⟨επηγότας⟩ ὡς φάναι ego; κινουμένους πως φάναι codd.

25. 1. Καὶ ὁ Phot. p. 341; ἐπεὶ καὶ ὁ Phot. p. 350; ὁ δὲ Suid. — τὸ τοῦ Ἰ. πρόσωπον καὶ εἶδος Suid. v. αἰδοῖος; τοῦ Ἰ. τὸ εἶδος Suid. v. εἶδος; τὸ Ἰ. πρόσωπον Phot. p. 341; τοῦ Ἰ. τὸ εἶδος Phot. p. 350. — ἦν om. Suid. v. εἶδος. — 2. ὀφθαλμοί; ὀφθαλμοὶ Ἰσιδώρου Suid. v. ἀποσαφοῦντες. — 3. ἱκανῶς πρὸς αὐτόν; ἱκανῶς om. Phot.; πρὸς αὐτὸν om. Suid.

26. 6. ⟨οὐ μέντοι⟩ addidi.

ἡμέτερος ἐπεπόνθει φιλόσοφος ὑπ' ἔρωτος μὲν τῆς περὶ τὰ ἀνθρώπινα πράγματα διορθώσεως, ἔχθρας δὲ καὶ μίσους ἀδιαλλάκτου τῶν κακοήθων ἐπιτηδευμάτων.

Phot. p. 336. a. 32 B, 18—20 W.

27. καὶ δὴ ἐδόκει τῷ ὄντι δίκαια μέμφεσθαι τῷ γε ἀκριβεῖ λογισμῷ, τῷ δὲ συνήθει καὶ ἀνθρωπίνῳ πολλαχῇ τὸ μέτριον ἔδοξεν ἂν ὑπερβαίνειν. καὶ ἐθαύμαζον ἐπὶ πολλοῖς οἱ ἐγκαλούμενοι, καὶ ὡς φιλαιτίου περὶ αὐτοῦ διέκειντο τὰς γνώμας· ὁ δὲ παράδειγμα ἀληθινὸν ὁμονοίας ἀληθινῆς ἐν ἑαυτῷ περιφέρων πρὸς τοῦτο τοὺς ἄλλους ἔκρινεν.

Phot. p. 337. a. 13, 30 W.

28. ἀγχίνους δὲ ὢν καὶ ἐπιστρεφὴς ὅμως τι καὶ εὐπαράγωγον ἐπεδείκνυτο. τῶν μὲν γὰρ ἐπιεικῶν εἶναι προσποιουμένων ῥᾳδίως ἄν τις αὐτὸν παρήγαγεν, ἅτε οὐκ ἐπιφέροντα ἐπὶ τοῦτον ἀκριβῆ ἐξέτασιν διὰ τὸ τῆς ἐπιεικείας ἀνύποπτον· ὁ δὲ τῆς προλαμβανούσης ὑποψίας ἄξιος οὐκ ἂν αὐτὸν ἔλαθεν ἐνεδρεύων οὐδὲ πλέκων δόλους.

Phot. p. 336. b. 7 B, 21 W; ὁ δὲ ἀγχίνους — ἐπεδείκνυτο (v. 1) Suid. v. ἐπιστρεφής, I. 2. 466. 21.

29. ὁ δὲ πρὸς τῇ ἀφελείᾳ καὶ τὴν ἀψεύδειαν ἠγάπα διαφερόντως καὶ ἀπεδέχετο, ὥστε καὶ εὐθύγλωττος εἶναι πέρα τοῦ δέοντος ἐδοξάζετο καὶ οὐδ' ὁτιοῦν ἔχειν ἐν ἑαυτῷ προσποιούμενον. πολλοῦ γε καὶ ἐδέησε τοῦτο παθεῖν. οὐδ' ἦν φιλοχρήματος, ἀλλ' οἰκονομικὸς κατὰ τὴν φύσιν· οὐ γὰρ προΐετο τὰ χρήματα ῥᾳδίως οὐδὲ πρόχειρος ἦν καταφρονεῖν χρημάτων δικαίως ὀφειλομένων, ἀλλὰ παρίστατο τοῖς ἀποστεροῦσι καὶ ἐξήτει μέχρι καὶ τῶν δικαστῶν ἀγοραίων. ἦν δὲ καὶ τὰ ἄλλα πάντα σοφὸς οἴκου διαθέτης καὶ πολύ τι τῆς ἡμέρας εἰς ταῦτα ἀνήλισκε μέρος, τὰ μὲν αὐτουργῶν, τὰ δὲ διατάττων.

ὁ δὲ πρὸς τῇ — φύσιν (v. 1—4) Phot. p. 336. b. 21 B, 23 W; Δαμάσκιός φησιν ὡς Ἰσίδωρος πρὸς τῇ — προσποιούμενον (v. 1—3) Suid. v. ἀφέλεια I. 1. 891. 5; ἦν δὲ καὶ εὐθύγλωττος — δέοντος (v. 1—2) Suid. v. εὐθύγλωττος I. 2. 602. 6; καὶ οὐδ' — προσποιούμενον (v. 2—3) v. προσποιεῖται II. 2. 481. 14; οὐ γὰρ — ἀγοραίων (v. 4—5) Suid. v. παρίστασθαι II. 2. 124. 19; ἦν δὲ — διατάττων (v. 6—7) Phot. p. 336 b. 26 B, 24 W und Suid. v. διαθέτης I. 1. 1280. 17.

30. οὐκ ἦν τετυφωμένος ὁ Ἰσίδωρος οὔτε δυσόμιλος, οὐδὲ ἠγνόει τὴν Στωϊκὴν συμπεριφορὰν λεγομένην.

Phot. p. 347. a. 13, 176 W.

31. καὶ περὶ Ἰσιδώρου Δαμάσκιος· Ὁ δὲ ἐπίχαρις ἦν, εὐτραπελίας μὲν καὶ βωμολοχίας ὅτι πορρωτάτω.

Suid. v. βωμολόχος. I. 1. 1034. 19.

32. Πάντων τῶν καθ' ἑαυτὸν ἰδιωτῶν ὁμοίως καὶ φιλοσόφων ἐχέμυθος ἐς τὰ μάλιστα

---

26. 7. πράγματα; an σφάλματα?

28. 1. τι καὶ Phot.; τι Suid.

29. 1. ἀφελείᾳ Suid.; ἀφελείᾳ οὕτω Phot. — τὴν Phot; om. Suid. — διαφερόντως καὶ ἀπεδέχετο Suid.; om. Phot.; — 2. ἐδοξάζετο Phot.; om. Suid.; — ἔχειν ἐν ἑαυτῷ προσποιούμενον Phot.; Suid. v. ἀφέλεια; ἐν ἑαυτῷ ἔχειν προσποιούμενος Suid. v. προσποιεῖται. — 3. οὐδ' ego; codd. οὐκ. — 4. προΐετο Bekker, προσίετο codd. — 5. παρίστατο τ. ἀ. καὶ ἐξήτει ego; παρίστατο καὶ ἐξήτει τ. ἀ. codd.; ἐπεξῄει Bekker; ἐξήτει — ἐπεξιών Bernhard. — 6. ἦν δὲ Suid.; ἦν γὰρ Phot. — ἡμέρας ἐ. τ. ἀ. μέρος Phot.; ἡμέρας μέρος ἐ. τ. ἀ. Suid.

καὶ κρυψίνους ἦν· ἀλλ' εἴς γε συναύξησιν τῆς ἀρετῆς καὶ τῆς κακίας μείωσιν ὅλην ἐξεκέχ τὴν ψυχήν.

Δαμάσκιος περὶ Ἰσιδώρου φησί· Πάντων — ψυχήν (v. 1—3) Suid. v. *ἰδιώτης*, I. 2. 943. *ἦν δὲ ἐχέμυθος — ψυχήν* (v. 1—3) Suid. v. *ἐχέμυθον*, I. 2. 692. 12; *ἐς δὲ αὔξησιν — ψυ* (v. 2—3) Suid. v. *ὅλην ἐξεκέχυτο* II. 1. 1079. 15; *ὁ δὲ εἰς αὔξησιν — ψυχήν* (v. 2—3) Suid *μεῖον* II. 1. 820. 8.

33. *ἐφθέγγετο μὲν ἐλάχιστα, τὰ πολλὰ δὲ ἠκροᾶτο λόγων γεγηρακότων καὶ σοφίᾳ κεκραμένων.*

ἐφθέγγετο — γεγηρακότων Phot. p. 337. a. 8 B, 28 W; *ὁ δὲ ἠκροᾶτο — κεκραμένων* S v. *ἀκροατής* I. 1. 180. 15. Huc pertinere videntur verba apud Photium p. 338. b. 17.

34. *Οὔπω δὲ ἐπείθετο τῷ προστάγματι Ἰσίδωρος ἀλλὰ τὸ τοῦ Ἰβύκου ἔπος αἰ ἐπῄει, μή τι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψῃ. — οὐδέν τι μεῖον ἢ ὁ Σωκ της εἰς τὴν ζήτησιν τοῦ ἀληθοῦς. ἐπεὶ καὶ ἐκεῖνος ὑπὸ τῶν λ' μὴ διαλέγεσθαι προσταχ οὐχ οἷός τε ἦν πείθεσθαι τῷ προστάγματι.*

Οὔπω — ἀμείψῃ (v. 1—2) Suid. v. *μή τι* II. 1. 838. 13; *ἀλλὰ τὸ τοῦ Ἰβύκου — ἀμι* Suid. v. *Ἰβύκειον ῥ.* I. 2. 935. 10 et v. *ἀμπλάκημα* I. 1. 287. 18; *οὐδέν τι — προστάγματι* (—4) Suid. v. *μεῖον*, II. 1. 820. 8.

Suidae verbis praecedere suspiceris, quae leguntur apud Phot. 338. a. 35.

4. De ingenio et doctrina.

35. *αἵ δέ γε αἰσθήσεις μετρίως αὐτῷ διέκειντο, πρὸς μόνην ὑπηρετοῦσαι τὴν χρε καὶ οὐχὶ αἱ αἰσθήσεις μόναι, ἀλλὰ καὶ τὸ κήρινον ἐκμαγεῖον, ἡ φαντασία, οὔτε πρὸς μνήμην ⟨ τι τῶν πολλῶν διαφέρουσα καὶ τῆς λήθης οὐ τὸ παράπαν ἀπηλλαγμένη. καὶ γὰρ ἠβουλ αὐτὸν ὁ θεός, ὡς ἔοικε, ψυχὴν μᾶλλον ὄντα ἐπιδεῖξαι ἢ τὸ συναμφότερον μετὰ τοῦ σώμα καὶ τὴν φιλοσοφίαν οὐ τῷ συναμφοτέρῳ ἐναποθεῖναι, ἀλλ' αὐτῇ μόνῃ τῇ ψυχῇ ἐνιδρῦσαι.*

Phot. p. 336. a. 18 B, 17 W.

36. *ἦν δ' ἱκανὸς διιδεῖν ὅπῃ τε σαθρὸν φθέγγεται ὁ λόγος καὶ ὅπῃ ὑγιές, ἵνα τὸ πρόσοιτο, τὸ δὲ ἐξελέγξειεν.*

καὶ αὖθις Δαμάσκιος· ἦν — ἐξελέγξειεν Suid. v. *πρόσοιτο*, II. 2. 488. 8; *ἦν — ἐ* Phot. p. 338. a. 18 B, 41 W.

Non de Isidoro agitur apud Suid. v. *ἀγχίνοια* I. 1. 84. 23.

37. *ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπόρει πρὸς ἑτέρους καὶ ὧν ἕτ πρὸς αὐτόν, οὐ πολυμαθίᾳ καὶ ἀλλοτρίων δοξασμάτων ἱστορίᾳ καταχωννὺς μὲν τὴν ἀλήθ καὶ ἀποκρύπτων, ἐπιστομίζων δὲ τοὺς ἀποροῦντας· ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ς*

---

32. 2. *ἀλλ' εἴς γε συναύξησιν τῆς ἀ. καὶ τῆς κ. μ.* Suid. v. *ἰδιώτης*; *ἀλλ' εἴς γε σ. ἀρετῆς καὶ κ* Suid. v. *ἐχέμυθον*; *ἐς δὲ αὔξησιν ἀ. καὶ μείωσιν κακίας* Suid. v. *ὅλην*; *ὁ δὲ εἰς αὔξησιν τῆς ἀ. καὶ μ. τ* Suid. v. *μεῖον*.

34. 1. *τὸ τοῦ Ἰβύκου* Suid. v. *μή τι*; *τὸ Ἰβ.* Suid. v. *Ἰβύκειον ῥ.* et v. *ἀμπλάκημα*. — 2. *ἀμείψῃ* Su *μή τι*; *ἀμείψειεν* Suid. v. *Ἰβύκειον ῥ.*; *ἀμείψω* Suid. v. *ἀμπλάκημα*. — 3. ante *ἐπεί* videtur *ἔσπευδεν* exci

35. 2. ⟨*ἦν*⟩ inserui.

36. 1. *διιδεῖν* Phot.; *ἰδεῖν* Suid.

37. 2. *πολυμαθίᾳ* Phot.; *πολυμαθείᾳ* Suid. — 3. *καὶ ἀποκρύπτων* Suid.; om. Phot.

σπόρου, πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θεῖον βακχείας οἷον ἀπομαντευομένῳ ἐῴκει τὴν τῆς ἀληθείας εὕρεσιν.

Phot. p. 338. a. 11. B, 40 W; Suid. v. *εὑρετής* I. 2. 637. 2.

37 a. *Οὐδὲ ἦν τῶν βιβλίων πολυήκοος, ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου ἐν ταῖς ἐξηγήσεσιν ἦν θαυμάσιος. εἶπεν οὖν τις τῶν φοιτητῶν, ὡς οὗτος ὁ ἀνὴρ οὐ φθέγγοιτο λόγους, ἀλλὰ πραγμάτων οὐσίας.*

Suid. v. *πολυήκοος* II. 2. 344. 8; *Δαμάσκιος· ἀλλὰ ῥώμῃ — ἀγχισπόρου* Suid. v. *ἀγχίσπορος* I. 1. 85. 5.

εἶπεν ἄν τις οὐ λόγους αὐτόν, ἀλλὰ πραγμάτων φθέγγεσθαι οὐσίας.

Phot. p. 338. a. 10 B, 39 W.

Ex his duobus fragmentis compositis colligendum esse videtur hanc fere formam loci Damascii fuisse: *ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπόρει πρὸς ἑτέρους καὶ ὧν ἕτεροι πρὸς αὐτόν, οὐ πολυμαθίᾳ καὶ ἀλλοτρίων δοξασμάτων ἱστορίᾳ καταχωννὺς μὲν τὴν ἀλήθειαν καὶ ἀποκρύπτων, ἐπιστομίζων δὲ τοὺς ἀποροῦντας. οὐδὲ ἦν τῶν βιβλίων πολυήκοος, ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου ἐν ταῖς ἐξηγήσεσιν ἦν θαυμάσιος, πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θεῖον βακχείας οἷον ἀπομαντευομένῳ ἐῴκει τὴν τῆς ἀληθείας εὕρεσιν. εἶπεν οὖν ἄν τις τῶν φοιτητῶν, ὡς οὗτος ὁ ἀνὴρ οὐ φθέγγοιτο λόγους, ἀλλὰ πραγμάτων οὐσίας.* cfr. Phot. 350. b. 9—15.

38. *δῆλος δ' ἦν οὐκ ἀγαπῶν τὰ παρόντα οὔτε τὰ ἀγάλματα προσκυνεῖν ἐθέλων, ἀλλ' ἤδη ἐπ' αὐτοὺς τοὺς θεοὺς ἱέμενος εἴσω κρυπτομένους οὐκ ἐν ἀδύτοις, ἀλλ' ἐν αὐτῷ τῷ ἀπορρήτῳ, ὅτιποτέ ἐστιν, τῆς παντελοῦς ἀγνωσίας. πῶς οὖν ἐπ' αὐτοὺς ἵετο τοιούτους ὄντας; ἔρωτι δεινῷ, ἀπορρήτῳ καὶ τούτῳ. καὶ τίς δὲ ἄλλος ἢ ἄγνωστος καὶ ὁ ἔρως; καὶ τίνα τοῦτόν φαμεν, ἴσασιν οἱ πειραθέντες, εἰπεῖν δὲ ἀδύνατον, καὶ νοῆσαί γε οὐδὲν μᾶλλον ῥᾴδιον.*

Phot. p. 338. a. 2 B, 38 W.

39. *ὁ δὲ Ἰσίδωρος διαπτύων τὴν γένεσιν ἀεὶ πρὸς θεὸν ἐτέτατο τὴν ψυχήν. καὶ οὐδὲν ἦν ἰδεῖν ἢ ἀκοῦσαι φθεγγόμενον ἢ τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ἢ περὶ ἀρετῆς καὶ κακίας.*

Suid. v. *γένεσις.* I. 1. 1083. 21.

40. *ὁ γοῦν Ἰσίδωρος ἐῴκει μὲν τὸ ζητούμενον εἰδότι, λέγειν δ' οὐκ ἠβούλετο. καὶ τοῦτο δὲ μαθεῖν ἐξ ὀνείρου θαυμασίου τινὸς ἐνεργέστατα διετείνετο. καὶ γὰρ ἦν ὁ μέγας Ἰσίδωρος εἰς τοσοῦτον εὖ ἥκων φύσεώς τε καὶ τύχης ὀνειρωττούσης, ὥστε ἔμοιγε θαυμάζειν ἔπεισι πολλάκις, ἀποπειρωμένῳ τῶν ἔργων ἀποβαινόντων, τῆς τοιαύτης αὐτοῦ προρρήσεως. εἰσὶ μὲν δὴ καὶ Ἀλεξανδρεῖς ὀλίγου πάντες εὐφυεῖς τε καὶ εὐτυχεῖς ὀνειροπολεῖσθαι, καὶ τοὺς ὀνείρους ἐκεῖνοι διὰ τοῦτο καὶ νῦν χρησμοὺς ὀνομάζουσιν. ἐγρηγορότι μὲν οὖν τῷ Ἰσιδώρῳ οὐ παρῆν ἡ ἄρρητος αὐτοψία· οὐ γὰρ οὕτω λαμπρὰν οὐδὲ βαθεῖαν παρείχετο τὴν μαρμαρυγήν, ὥστε καὶ ὑπὸ τῶν αἰσθητῶν ἐπὶ θάτερα ἀνταυγούντων ἐπηλυγαζομένην εἴσω ὅμως ἀνάπτεσθαι καὶ διαλάμπειν. ἀλλ' ὅτε ἔξω τούτων καθίστατο ἡ ψυχή, μηκέτι τῆς αἰσθήσεως ἐνεργούσης, ἤδη δὲ παρειμένης ὑπὸ τοῦ ὕπνου, τότε μονουμένη καθ' ἑαυτὴν ἡ ἀεὶ ἔνδον ἑστῶσα τοῦ θείου ἀστραπή,*

---

39. 2. *ἢ* ante *περὶ* Bernhardy delendum aut lacunam statuendam esse censet, immo scrib. *ἤγουν* pro *ἤ*.
40. 10. *ἑστῶσα* codd., fort. *ἐνοικοῦσα*.

καὶ ἀπαλλαττομένη τῶν ἐμποδίων, ἐπὶ μᾶλλον ἀνεζωπυρεῖτο καὶ ἐξεχεῖτο πρὸς τὸ ἐκτὸς ἐ πλεῖστον, ἕως ἂν καὶ αὐτὴν καταστράψειεν ἐπ' ἐσχάτῳ τὴν φαντασίαν.

Phot. p. 335. b. 20 B, 10—13 W.

41. καὶ ὁ μὲν διαναστάς, ἐπειδὴ ἕως ἐγεγόνει, ἔτι τὴν ψυχὴν ὑπὸ τῆς ὀμφῆς κατεχ μενος διηγεῖτο τὸν ὄνειρον.

Phot. p. 336. b. 29 B, 25 W; vgl. Phot. p. 345. a. 11.

42. Ὁ δὲ τὸν Αἰγαῖον διαπεραιωθείς, ὁ Ἰσίδωρος καὶ αὐτὸς δὲ Ἀσκληπιάδης, ἔφασκ ἑωρακέναι πλόκαμον ἐν τῷ Νείλῳ ποταμῷ δαιμόνιον τὸ μέγεθος καὶ τὸ κάλλος. αὖθις δέ πο παρὰ τῷ Νείλῳ ἑστιωμένοις ἀμφοτέροις (παρῆν δὲ ἐκ τρίτων καὶ ὁ ἡμέτερος φιλόσοφος) ἀν δραμεν ἀπὸ τοῦ ποταμοῦ πλόκαμος ὡς ἰδεῖν πεντάπηχυς.

Phot. p. 342. b. 19 B, 93 W.

43. λέγει δὲ καὶ ἑαυτὸν καὶ τὸν Ἰσίδωρον ταῦτα (sc. βαιτύλια) χρόνῳ ὕστερον θεάσασθα

Phot. p. 342 b. 30 B, 94 W.

44. ἐγὼ μὲν (sc. ὁ Εὐσέβιος) ᾤμην θειότερον εἶναι τὸ χρῆμα τοῦ βαιτύλου, ὁ δὲ Ἰσίδωρο δαιμόνιον μᾶλλον ἔλεγεν· εἶναι γάρ τινα δαίμονα τὸν κινοῦντα αὐτὸν οὔτε τῶν βλαβερῶν οὔτ τῶν ἄγαν προσύλων, οὐ μέντοι τῶν ἀνηγμένων εἰς τὸ ἄυλον εἶδος τῶν οὐδὲ καθαρῶν παντάπασι

Phot. p. 348. b. 22 B, 203 W.

45. καὶ ἐγὼ ταῦτα ἀπήγγειλα τῷ Ἰσιδώρῳ σοφήν τε καὶ ἔνθεον ἀεὶ προτείνοντι πρὸ τοὺς μύθους τοὺς ἱεροὺς ἀκοήν.

Phot. p. 349. a. 11 B, 213 W.

46. ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως, ἀλλ' ὅσον ὀρέξεως εἶχεν. εἶχε δὲ ἐπ' ἐλάχιστον τῆς πρὸς αὐτὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱστάμενα.

Suid. v. ἄττα. Δαμάσκιος. I. 1. 822. 20; Δαμάσκιος περὶ Ἰσιδώρου· ὁ δὲ ἐμελέτα — εἶχεν, v. δύναμις I. 1. 1469. 8; — Δαμάσκιος· εἶχε δὲ — ἱστάμενα Suid. v. ἐπ' ἐλάχιστον. I. 2. 367. 7.

ἐνδεέστερος δὲ ἦν ἀεὶ τῆς συμβαινούσης χρείας· διὸ καὶ ὅσα ἔγραψεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν τε καὶ τελεσιουργὸν ἔχοντα, τοῖς δ' ἔπεσιν οὐ πάνυ συνηρμοσμένα, ἀλλὰ τούτων ὅσον ἄμετρον ἀπέβαινε καὶ ἄλλως οὐ κατὰ τὸν πρεπώδη ῥυθμόν, ἐμοὶ ἐπανορθοῦσθαι ἐπέτρεπε.

ὅτι φησὶ μετρίως μετέσχε τῶν ποιητικῶν ὁ Ἰσίδωρος, οὐ λίαν σπουδάσας περὶ αὐτά ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώσσης ἱστάμενα,

τὰ δὲ αὐτῶν καὶ μαχόμενα ταῖς ὁμολογουμέναις ἐννοίαις· διὸ καὶ ἐνδεέστερος ἦ ἐν τούτοις.

ὅθεν καὶ ὕμνους, ὅσους ἔγραψεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν τε καὶ τελεσιουργὸν ἐπιφαίνοντας τοῖς δ' ἔπεσιν οὐ πάνυ συνηρμοσμένους.

Phot. p. 339. a. 37 B, 61 W; cfr. Phot 337. b. 9.

46a. 2. ἀλλ' ὅσον Suid. v. δύναμις; ἀλλ' Suid. v. ἄττα. — 4. αὐτὰ Suid. v. ἄττα; τὰ ποιητικά Suid. v ἐπ' ἐλάχιστον. — 10. ἔγραψεν Suid. v. τελεσιουργόν et v. ῥυθμίζει; ἔγραφεν v. ἐνδεέστερος. — Fort. Damasciu scripsit καὶ ὕμνους καὶ ὅσα ἔγραψεν etc. — 11. ἔχοντα Suid. v. ἐνδεέστερος et v. τελεσιουργόν; εἶχον v. ῥυθμίζει ubi etiam ante συνηρμοσμένα additum est ἦν.

ἐνδεέστερος — συνηρμοσμένα Suid. v. ἐνδεέστερος I. 2. 235. 5; διὸ καὶ — συνηρμοσμένα Suid. v. τελεσιουργόν II. 2. 1062. 3; ἀλλ' ὅσα — ἐπέτρεπε Suid. v. ῥυθμίζει II. 2. 635. 16; cfr. Phot. 350. b. 7—15.

47. τούτων δὲ ἡ μνήμη (sc. necis Hypatiae) ἔτι σωζομένη τοῖς Ἀλεξανδρεῦσι συνέστελλεν εἰς μικρὸν κομιδῇ τὴν περὶ τὸν Ἰσίδωρον τῶν Ἀλεξανδρέων τιμήν τε καὶ σπουδήν· ὅτε καὶ τούτου ἐπικρεμαμένου δέους ὅμως ἕκαστοι ἔσπευδον αὐτῷ συνεῖναι θαμὰ καὶ τῶν ἀπὸ τοῦ σωφρονοῦντος στόματος ἰόντων ἀκροᾶσθαι λόγων. ἐπεὶ καὶ ὅσοι ῥητορικῶν προΐσταντο διατριβῶν ἢ ποιητικῶν, ἠσπάζοντο τὴν τοῦ φιλοσόφου συχνὴν ὁμιλίαν. εἰ γὰρ καὶ ἀνάγωγος ἦν τὰ τοιαῦτα, ἀλλὰ τῇ γε ἄλλῃ φιλοσόφῳ ἀκριβείᾳ προσετίθει τι καὶ ἐκείνοις ἐπιμελέστερον εἰς τὰ σφέτερα αὐτῶν τεχνύδρια. τά τε γὰρ ἄλλα διηκρίβωτο, καὶ τῶν ἐπιδεικνυμένων λόγων τε καὶ ποιημάτων κρίσιν ἐποιεῖτο διαφέρουσαν τῶν ἄλλων. διὸ καὶ ἐν τοῖς ἐπί τινι λογικῇ ἀκροάσει θεάτροις ὀλίγα μὴν ἐπῄνει τοὺς ἐπιδεικνυμένους καὶ πάνυ ἡσυχάζοντι τῷ ἐπαίνῳ, καιρίως δὲ ὅμως καὶ κατὰ λόγον. ὅθεν ἅπαν τὸ θέατρον, ὡς εἰπεῖν, τῇ ἐκείνου κρίσει γνώμονι διεχρῆτο τῶν ἄμεινον ἢ χεῖρον λεγόντων.

— — —

ἕνα δὲ τούτων (iudicum optimorum) οὔ φημι τὸν Ἰσίδωρον, ἀλλὰ καὶ πολλῷ ἐλαττοῦσθαι τῶν τριῶν.

Suid. v. Ὑπατία, II. 2. 1316. 1.

De … docendi.

48. ἐξαίρετον δ' ἦν αὐτῷ παρὰ τοὺς ἄλλους καὶ τοῦτο φιλοσόφους· οὐκ ἠβούλετο συλλογισμοῖς ἀναγκάζειν μόνον οὔτε ἑαυτὸν οὔτε τοὺς συνόντας ἐπακολουθεῖν τῇ ἀληθείᾳ μὴ ὁρωμένῃ κατὰ μίαν ὁδὸν πορεύεσθαι συνελαυνομένους ὑπὸ τοῦ λόγου, οἷον τυφλοὺς τῆς ὀρθὴν ἀγομένους πορείαν, ἀλλὰ πείθειν ἐσπούδαζεν ἀεὶ καὶ ὄψιν ἐντιθέναι τῇ ψυχῇ, μᾶλλον δὲ ἐνοῦσαν διακαθαίρειν.

Phot. p. 338. a. 28 B, 43 W.

…phiae stu… …ulescen… …erum di… …m curas …maturis …venire.

49. Ἰσίδωρος ἔφη τὴν μὲν ἐν φιλοσοφίᾳ σπουδὴν ἀνδρὶ νεωτέρῳ καὶ ἄρτι λόγων ἁπτομένῳ φιλοσόφων εἶναι πρεπωδεστέραν, τὴν δὲ εὐσεβῆ προθυμίαν καὶ φιλόθεον προσήκειν μάλιστα τοῖς ἤδη προβεβηκόσι καὶ πόρρω ἐλαύνουσι τοῦτο μὲν ἡλικίας, τοῦτο δὲ φιλοσοφίας.

Suid. v. σπουδή II. 2. 878. 1; προσήκειν — φιλοσοφίας Suid. v. προβεβηκόσι II. 2. 417. 11.

…ciplinis …yptiis.

50. Οἱ δὲ καὶ ἐν τοῖς Αἰγυπτίοις φιλοσοφήμασι τὸν Ἰσίδωρον συνεργὸν καὶ συγκυνηγέτην παρελάμβανον τῆς ἐν βυθῷ κεκρυμμένης ὡς ἀληθῶς ἱερᾶς ἀληθείας, καὶ πολλαχοῦ φῶς ἀνῆπτεν αὐτοῖς ἐν ταῖς ζητήσεσιν τῆς ἀρχαιοτρόπου σοφίας. τὸ δὲ σύμπαν αὐτῷ τῆς εὐπορίας οὐκ ἀπὸ βιβλίων καὶ δοξασμάτων ἐπορίζετο ἀλλοτρίων διὰ μνήμης, ἀλλ' ἕξιν τινὰ βεβαίαν καὶ πάμφορον ἀληθείας τῆς γε τοιαύτης ἀπ' ἀρχῆς ἐκτήσατο.

Phot. p. 350. a. 36 B, 243 W.

…trina sa… …otali.

51. εἰ δὲ θειότερον χρῆμα, ὡς σὺ φῄς, ὦ Ἡγία, ἔλεγε πρὸς αὐτὸν ὁ Ἰσίδωρος, ἡ ἱερατικὴ πραγματεία, φημὶ μὲν τοῦτο κἀγώ· ἀλλὰ πρῶτον ἀνθρώπους γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ. διὰ τοῦτο καὶ ὁ Πλάτων ἔφη μὴ ἐλθεῖν εἰς ἀνθρώπους μεῖζον ἀγαθὸν φιλοσοφίας. ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξύρου ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως, ὡς ἀληθῶς.

Phot. p. 349. a. 38 B, 227 W.

---

49. 3. πόρρω Suid v. προβεβηκόσι; πόρρωθεν v. σπουδή.

52. *πολλὰ λέγει παράδοξα καὶ δοκοῦντα τοῖς φιλοσόφοις, πολλὰ τῶν καθ' ᾅδου, οὔπω τινὰ ἀκοὴν φέροντι τῷ Ἰσιδώρῳ τοσούτων ἀκουσμάτων.*
Suid. v. *δοκοῦντα* I. 1. 1427. 2.

53. *Ὁ δὲ Ἰσίδωρος ὑπερηγορῶν τοῦ Σωκράτους βαθύτερον ἢ κατ' ἀκροατὰς διελέγετο.*
Suid. v. *ὑπερηγορῶν*, II. 2. 1332. 4.

54. *τὸ ὑψηλόνουν καὶ τελεσιουργὸν ἔχων οὐ περὶ τὸ κάτω στρεφόμενον, ἀλλ' εὐθὺς ἀναθρῶσκον ἀπὸ μικρᾶς ἀφορμῆς ἐπὶ τὰ πρεσβύτατα τῶν θεαμάτων αὐταῖς γε ταῖς Πλάτωνος ἀκηράτοις ἐννοίαις οὐ κατὰ τὰς συνήθεις τῶν πολλῶν φιλοσόφων ἐπιβολὰς ἐνεφύετο, μετὰ δέ γε Πλάτωνα καὶ ταῖς θαυμασταῖς Ἰαμβλίχου περινοίαις.*
Phot. p. 337. a. 39, 33 W.

55. *ῥητορικῆς καὶ ποιητικῆς πολυμαθίας μικρὰ ἥψατο εἰς δὲ τὴν θειοτέραν φιλοσοφίαν ἐξώρμησε τὴν Ἀριστοτέλους. ὁρῶν δὲ ταύτην τῷ ἀναγκαίῳ μᾶλλον ἢ τῷ οἰκείῳ νῷ πιστεύουσαν καὶ τεχνικὴν μὲν ἱκανῶς εἶναι σπουδάζουσαν, τὸ δὲ ἔνθεον ἢ νοερὸν οὐ πάνυ προβαλλομένην ὀλίγον καὶ ταύτης ὁ Ἰσίδωρος ἐποιήσατο λόγον. ὡς δὲ τῶν Πλάτωνος ἐγεύσατο νοημάτων, οὐκέτι παπταίνειν ἠξίου πόρσιον, ὥς ἔφη Πίνδαρος, ἀλλὰ τέλος ἔχειν ἤλπιζεν, εἰ τῆς Πλάτωνος διανοίας εἴσω τῶν ἀδύτων δυνηθείη διαβαλεῖν, καὶ πρὸς τοῦτο ὁ πᾶς αὐτῷ δρόμος ἐτέτατο τῆς σπουδῆς.*
Phot. p. 337. b. 9, 35 W.

56. *Δῶρος. ὁ ἀπὸ τῆς Ἀραβίας· ὅν φησι Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱστορίαν δεινότατον εἶναι ζητητὴν τῆς ἀληθείας. τοῦτον Ἰσίδωρος ὁ φιλόσοφος ᾐσθάνετο μὲν τὴν ἀρχὴν ἐπὶ ταῖς Ἀριστοτέλους ὑποθέσεσιν ἐνδεδεμένον, ἅτε ἐκ παίδων ἐν αὐταῖς τεθραμμένον πορρωτέρω τῆς ἡλικίας καὶ διὰ τὴν ἀήθειαν τῆς Πλάτωνος μεγαλοπρεποῦς ἐπιστήμης οὐ δυνάμενον ἀναπτῆναι πρὸς τὰ ὑψηλὰ καὶ λαμπρὰ τῶν νοημάτων. οὕτω δὲ ἔχοντα καταμαθὼν ἀνεκαλέσατό τε κατὰ βραχὺ καὶ ἀνεπέτασεν αὐτοῦ τὴν ψυχὴν εἰς τὸ μέγα πέλαγος τῆς ἀληθείας· ὥστε ἀποσκευασάμενον τὴν τὰ μικρὰ συλλογιζομένην ἀκρίβειαν περιπατητικὴν εἰς τὴν διὰ Προμηθέως τινὸς ἅμα φανοτάτῳ πυρὶ καταπεμφθεῖσαν διαλεκτικήν, αὐτοψίαν τε καθαρωτάτην οὖσαν νοῦ καὶ φρονήσεως, ἀναδραμεῖν τε καὶ ἐν αὐτῇ εἰσοικίσαι τὰς τοῦ βίου φιλοσόφους ἐλπίδας.*
Suid. v. *Δῶρος*. I. 1. 1452. 9.

57. *ὅτι τῶν μὲν παλαίτατα φιλοσοφησάντων Πυθαγόραν καὶ Πλάτωνα θειάζει καὶ τῶν ἐπτερωμένων ἐκείνων ψυχῶν ⟨φησιν⟩ εἶναι, αἳ εἰς τὸν ὑπερουράνιον τόπον, εἰς τὸ πεδίον τῆς ἀληθείας, εἰς τὸν λειμῶνα τῶν θείων νέμονται εἰδῶν, τῶν νεωστὶ δὲ Πορφύριον καὶ Ἰάμβλιχον καὶ Συριανὸν καὶ Πρόκλον· καὶ ἄλλους δὲ ἐν μέσῳ τοῦ χρόνου πολὺν θησαυρὸν συλλέξαι λέγει ἐπιστήμης θεοπρεποῦς. τοὺς μέντοι θνητὰ καὶ ἀνθρώπινα φιλοπονουμένους ἢ συνιέντας ὀξέως ἢ φιλομαθεῖς εἶναι βουλομένους οὐδὲν μέγα ἀνύτειν εἰς τὴν θεοπρεπῆ καὶ μεγάλην σοφίαν. τῶν γὰρ παλαιῶν Ἀριστοτέλη καὶ Χρύσιππον εὐφυεστάτους γενομένους, ἀλλὰ καὶ φιλομαθεστάτους*

---

52. 1. *τῶν καθ' ᾅδου, οὔπω τινα ἀ. φέροντι*, codd.; *περὶ τῶν καθ' ᾅδου — φέροντι* vel *φερόντων* Hermannus; *φιλοσόφοις κατὰ τῶν ἐν ᾅδου* Bernh.; scribendum esse videtur *τῶν καθόλου*.
54. 1. *ἔχων* ego; *εἶχεν* codd.
55. 4. Ol. I. 114.
56. 2. *μὲν τὴν*; *τὴν μὲν* Bernhardy; non recte. — 3. *ἐπὶ* delet Bernhardy; fort. *ἔτι*. — 4. *καὶ διὰ*; *διὰ δὲ* Bernhardy; non recte. — 8. *τε* codd.; *γε* Bernhardy.
57. 2. sic codd.; fortasse *αἳ εἰς τ. ὑ. τ. ἀναπτᾶσαι, τὸ πεδίον τ. ἀ., τὸν λειμῶνα* etc. — ⟨*φησιν*⟩ inserui.

γεγονότας, ἔτι δὲ καὶ φιλοπόνους, οὐκ ἀναβῆναι ὅμως τὴν ὅλην ἀνάβασιν. τῶν δὲ νεωτέρων Ἱεροκλέα τε καὶ εἴ τις ὅμοιος, οὐδὲν μὲν ἐλλείποντας εἰς τὴν ἀνθρωπίνην παρασκευήν, τῶν δὲ μακαρίων νοημάτων πολλαχῇ πολλῶν ἐνδεεῖς γενομένους φησίν.

Phot. p. 337. b. 20 B, 36 W.

58. *Δαμάσκιος· τοῖς ἐπὶ μήκιστον εὖ μάλα πυργώσασι τὴν φιλοσοφίαν, τοῖς περὶ Πυθαγόραν, Πλάτωνα· τοῖς δὲ νεωστὶ Πορφυρίῳ, Ἰαμβλίχῳ, Συριανῷ.*

Suid. v. *πυργοῦται.* II. 2. 568. 14.

59. *ὅτι ἀγχίνοιαν καὶ ὀξύτητα ὁ Ἰσίδωρος, φησίν, ἔλεγεν οὐ τὴν εὐκίνητον φαντασίαν, οὐδὲ τὴν δοξαστικὴν εὐφυΐαν, οὐδὲ μόνην (ὡς ἄν τις οἰηθείη) διάνοιαν εὔτροχον καὶ γόνιμον ἀληθείας· οὐ γὰρ εἶναι ταύτας αἰτίας, ἀλλὰ τῇ αἰτίᾳ δουλεύειν εἰς νόησιν· τὴν δὲ εἶναι θείαν κατοκωχήν, ἠρέμα διανοίγουσαν καὶ ἀποκαθαίρουσαν τὰ τῆς ψυχῆς ὄμματα καὶ τῷ νοερῷ φωτὶ καταλάμπουσαν εἰς θέαν καὶ γνώρισιν τοῦ ἀληθοῦς καὶ τοῦ ψευδοῦς· εὐμοιρίαν ταύτην ἐκεῖνος ὠνόμαζεν, καὶ ὡς οὐδὲν γένοιτ' ἂν ὄφελος ἄνευ τοῦ οὐρανίου φωτός, διετείνετο.*

Phot. p. 337. a. 28, 32 W; *τὴν δὲ — ὄμματα* Suid. v. *κατακωχή* II. 1. 108. 12; *εἰς θέαν — ψευδοῦς εὐμοιρίαν* Suid. v. *εὐμοιρία*, I. 2. 621. 6.

60. *Τὸν ἄρχοντα τῶν ἀρχομένων εἵνεκα πάντα διαπράττεσθαι δεῖν. ὁ δὲ Ἡγίας ἠξίου οὐ μόνον τὸν ἄρχοντα τῶν ἀρχομένων τίθεσθαι πρόνοιαν, ἀλλὰ καὶ αὐτοῦ πρὸ ἐκείνων. ἑκάστῳ γὰρ εἶναι τὴν ἔφεσιν τοῦ ἀγαθοῦ πρὸς ἑαυτὸν μᾶλλον ἢ πρὸς ἕτερον. ὁ δὲ Ἰσίδωρός φησι τὸν ἄρχοντα ᾗ ἄρχοντος ἀκούειν, εἰ δὲ καὶ ἑαυτοῦ φροντίδα ποιοῖτο, ὡς ἑνός γε καὶ ἑαυτοῦ τῶν ἀρχομένων καὶ δεομένων προνοίας. τὸν γάρ τοι ἄρχοντα τῷ ἀκριβεῖ λόγῳ δεῖσθαι μηδενός, ᾗ δὲ ἄνθρωπος ὁ τεχνίτης δέοιτο ἄν, οἷον ἰατρὸς τῆς ἰατρικῆς, εἰ νοσήσειεν· ἰατρικὴ δὲ οὐκ ἄν ποτε νοσήσειεν. οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἰατρικὴν ἑστὼς ἰατρός· οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἀρχικὴν ἐπιστήμην ἄρχων ὁρώμενος. λογικώτερον δὲ εἰπεῖν ἐπιχειρητέον, ὡς τὰ πρός τι οὐ λέγεται μόνον, ἀλλὰ καὶ ἔστι πρὸς ἄλληλα. ἄρχων ἄρα πρὸς ἀρχομένους καὶ ἀρχόμενος πρὸς ἄρχοντα καὶ λέγονται καὶ εἰσίν. ὥστε εἴ τι τὸ ἄρχειν ὠφελεῖ τοὺς ἀρχομένους, ὠφελήσει πρὸς οὓς καὶ τὸ ἄρχειν προβέβληται.*

Suid. v. *ἄρχων χρότιος*, I. 1. 778. 2.

---

58. 2. *τοῖς περὶ*; Bernhardy *Ἀριστοτέλην* inserendum esse putat, non recte. *Πρόκλῳ* potius post *Συριανῷ* excidisse collegeris ex frg. 57.

59. 5. *κατοκωχήν* Phot.; *κατακωχήν* Suid. — *γνώρισιν* Phot.; *νόησιν* Suid.

60. 2. *αυτοῦ πρὸ* Hermannus; *αὐτοῦ πρὸς* codd. — *ᾗ ἄρχοντος ἀκούειν*; Hermannus: *τὸν ἄρχοντα μὴ μᾶλλον ἄρχειν ἢ ἄρχοντος ἀκούειν*; Bernh. haec tentat: *τὸν ἄρχοντα ἡμᾶς τὸ τοῦ ἄρχοντος ὄνομα τῶν ἀρχομένων καὶ δεομένων προνοίας ἀκούειν, εἰ δὲ καὶ ἑαυτοῦ . . . καὶ ἑαυτοῦ τῶν ἀρχομένων.* Ego sententiau potius quam ipsa Damascii verba sic restituam: *ᾗ ἄρχει, ἑτέρου τινὸς ἀκούειν* (sc. *ἄρχειν*). — 6. *μηδενὸς, ᾗ* ego; *μηδενός. ᾗ* codd. — 11. *ὠφελήσει πρὸς οὓς* codd.; *ὠφελήσει πρός, οἷς* Bernhard; ego malim: *ὠφελήσει πρός, ὅς.*